# Δώρησέ μου μετάνοια Κύριε

Νύν έτι και σήμερον κατησχυμένω προσώπω και εις γήν νεύοντι, τολμώ λαλήσαι προς σέ τον Δεσπότην και Δημιουργόν τών απάντων. Εγώ δέ είμι γη και σποδός, όνειδος ανθρώπων, σκώληξ τω όντι και ούκ άνθρωπος, όλως κατεγνωσμένος και κατώδυνος.

Πώς ατενίσω σοι, Δέσποτα; Εν ποία καρδία; Εν ποίω συνειδότι; Εν ποία γλώσση λαλήσω σοι; Πώς δέ τήν αρχήν ποιήσω της εμής εξομολογήσεως; Ποίων αμαρτιών άφεσιν ο τάλας αιτήσω πρότερον; Τών έν γνώσει ασυγγνώστως και τών έν παραβάσει αγίων Σου εντολών, ή τών έν καταθέσει πονηρών λογισμών;

Αλλ' ώ Δέσποτα, ώς έχων της μακροθυμίας τό πέλαγος έμφυτον και της ευσπλαγχνίας τήν άβυσσον, μή παραχωρήσης κοπήναι με τον αχάριστον ώς τήν συκήν τήν άκαρπον, μηδέ αρπάσης με ανέτοιμον, μηδέ παραστήσης τήν ψυχήν μου στηλίτευμα ελεεινών τω φοβερώ και αδεκάστω σου βήματι.

Αλλ' ώς αγαθός Θεός και φιλάνθρωπος, ελέησόν με τόν αχάριστον, τόν πεπωρωμένον, τόν αναπολόγητον, τόν καταδεδικασμένον, τόν άξιον πάσης κολάσεως και τιμωρίας.

Πώς επικαλέσομαί σε, Δέσποτα τών απάντων, τάς εντολάς σου μή φυλάξας; Μετά γάρ τό λαβείν με τήν επίγνωσιν της αληθείας, γέγονα θυμώδης, ανελεήμων, μάλιστα δέ έν ρυπαροίς λογισμοίς, και έτι έν γαστριμαργία, έν αδηφαγία, έν υπερηφανία, έν καταλαλιά, έν υποκρίσει;

Ψευδόμενος γάρ εγώ επί τους ψεύτας άχθομαι, κρίνω τους πταίοντας ό πλήρης πταισμάτων, εάν υβρισθώ αμύνομαι, εάν μή τιμηθώ βδελύττομαι, και τους τ'αληθή μοι λέγοντας ώς εχθρούς λογίζομαι, μή κολακευόμενος αηδιάζω, ανάξιος ών τιμάς απαιτώ.

Εάν μή τις λειτουργή μοι κακολογώ αυτόν ώς υπερήφανον, ασθενούντα αδελφόν αγνοώ, εγώ δέ ασθενών φιλείσθαι και υπηρετείσθαι θέλω. Μειζόνων περιφρονώ και ελάττονας υπερορώ, εάν κρατήσω βραχύ τι εμαυτόν από της αλόγου επιθυμίας κενοδοξώ, έάν κατορθώσω αγρυπνίαν τη αντιλογία παγιδεύομαι.

Εάν εγκρατεύσω εμαυτόν από βρωμάτων τω τύφω καταποντίζομαι, εάν εις αρετήν προκόψω τι κατά των αδελφών μου επαίρομαι. Εξωθεν ταπεινοφρονώ και τη ψυχή υψηλοφρονώ...

**Κύριε, διά τους απείρους σου οικτιρμούς δώρησαί μοι μετάνοιαν.**

Αγιοι Πάντες, πρεσβεύσατε υπέρ εμού του αμαρτωλού, εκχέατε τήν δέησιν υμών

προς τόν οικτίρμονα Θεόν, ίνα επιστρέψη τήν ψυχήν μου, τω άδη προσκολληθείσαν υπό τών ατίμων παθών.

Πρεσβεύσατε, Αγιοι, υπέρ εμού, ίνα διά τών αγίων υμών ευχών άξιος μετανοίας γένωμαι. Εργον γάρ έστιν υμών, Αγιοι, πρεσβεύειν υπέρ αμαρτωλών, Θεού δέ τό τους απεγνωσμένους ελεείν.

Οσιοι και Δίκαιοι, οί καλώς τόν αγώνα τελέσαντες, συνέλθετε επί εμοί τω δυστήνω, και ή ώς νεκρόν με θρηνήσατε, ή ώς ημιθανή οικτειρήσατε, επεί εγώ ούκ έχω προς Θεόν παρρησίαν διά τάς πολλάς μου αμαρτίας. Εκχέατε έλεος έπ' εμοί, Αγιοι, ώς είς αιχμάλωτον καί τραυματίαν.

Οίδα γάρ ότι, εάν υμείς του Θεού δεηθήτε, πάντα μου τά πλημμελήματα συγχωρηθήσονται τη αφάτω αυτού ευσπλαγχνία ώσπερ γάρ αυτός φιλάνθρωπος έστιν, ούτω και υμείς.

Μόνον μή υπερίδητέ με. Πρόσδεξαι, Κύριε, τήν ταπεινήν μου δέησιν ταύτην και ελέησόν με διά πρεσβειών τής παναχράντου σου Μητρός και πάντων σου των Αγίων, ίνα κ'αγώ μετά πάντων τών σωθέντων τω αφάτω σου ελέει προσκυνώ σε τόν έν Πατρί και Πνεύματι δοξαζόμενον Θεόν Λόγον. Αμήν.

Οσιος Εφραίμ ο Σύρος